μου καὶ τῆς Ῥωμανίας, ἀλλὰ μηδὲ ἀπὸ τοῦ, ὡς εἴρηται, προβάντος σκανδάλου πρόφασιν ὁτεδήποτε μερικῶς ἢ καθόλου τῷ μέρει τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας ἢ τῇ Γενούᾳ δοθῆναι εἰς ἀναίρεσιν τῶν μεταξὺ ἡμῶν συμφωνηθέντων ἐν τῷ χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου καὶ τῷ ὁρκωμοτικῷ ἐγγράφῳ αὐτῶν ἐμπεριειλημμένων, ἀλλ᾽ ἐν ἀσφαλεῖ καὶ ἀπαραβάτῳ καὶ ἀκεραίῳ φυλάττεσθαι ταῦτα, καθὼς ἀρχῆθεν ἐξετέθησαν, καὶ οὕτω λογίζεσθαι, ὡς μηδενὸς παρεμπεσόντος σκανδάλου εἰς ἀναίρεσιν τούτων ὁπωσδήποτε ἀφορῶντος. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῆς βασιλείας μου ἐπεβραβεύθη αὐτοῖς εἰς ἀσφάλειαν αἰωνίζουσαν †. † Μηνὶ ὀκτωβρίῳ ἰνδ. ιβʹ †.

*Orig. charta bomb. tabull. Taurinensis.*

## VIII. (6707—1199) martio ind. II.

*Alexius III. Angelus Comnenus, capto et punito Gafforio, mittit Nicolaum medicum legatum ad communitatem Ianuae, ut iterum tractetur de privilegiis.*

† Ἀλέξιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεύς, θεοστεφὴς ἄναξ, κραταιός, ὑψηλός, ἀεὶ αὔγουστος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνὸς τῷ συνετωτάτῳ ἐξουσιαστῇ Γενούας καὶ τοῖς φρονιμωτάτοις κονσούλοις καὶ σενάτωρσι καὶ τῷ λοιπῷ παντὶ πληρώματι τοῦ κάστρου Γενούας τὴν χάριν αὐτοῦ καὶ τὸ ἀγαθὸν θέλημα. ἀψευδῆ τὰ τῶν παρ᾽ Ἕλλησι σοφῶν ἀποφθέγματα καὶ γνωμολογήματα καὶ ὡς ἐπίπαν ἐπίστοχα. κακοῦ γοῦν ἀνδρὸς ὅλην πόλιν ἀπολαύειν ὁ παρ᾽ αὐτοῖς σοφὸς ποιητὴς Ἡσίοδος ἀπεφήνατο· οὐ καινὸν γοῦν, εἰ καὶ τῷ τοῦ καθ᾽ ὑμᾶς κάστρου τῆς Γενούας πληρώματι διὰ τῶν τινων ἐξ ὑμῶν κακίαν μέγα π[άντως] ἐπετρίβη ζημίωμα, καὶ μεγάλης οὕτω καὶ πᾶσι τοῖς ἔθνεσι φιλητῆς καὶ ἀγαπητῆς εὐμενείας τῆς βασιλείας μου ἐπὶ καιρὸν ἐστερήθητε, καὶ αἱ εἰς τὴν βασιλίδα ταύτην τῶν πόλεων καὶ ἐξ αὐτῆς ἐμπορίαι ἡμῶν καὶ τὰ κέρδη ἐντεῦθεν ἐπεσχέθησαν καὶ διεκωλύθησαν. πλὴν ἐπεὶ θεοῦ προνοίᾳ ὅ τε τῆς κακῆς ταύτης πράξεως ἀρχηγὸς ἐκποδὼν γέγονε, καὶ ἀξίου τῶν ἔργων αὐτοῦ τέλους τετύχηκε, παρὰ τοῦ θεοσώστου στόλου τῆς βασιλείας μου κατασχεθείς, καὶ οἱ σὺν ἐκείνῳ δὲ ὁμόφυλοι ὑμῶν πάντες δέσμιοι ταῖς κατὰ τὴν Μεγαλόπολιν φυλακαῖς ἀπεδόθησαν, κἂν καὶ ἡ βασιλεία μου τὸ πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΙΤΣΙΟΣ
Ε. ΤΙΑ της Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸ κάστρον ὑμῶν εὐμενὲς συντηροῦσα μεγάλην ἐπὶ τούτοις φιλανθρωπίαν ἐπεδείξατο, καὶ τῶν φυλακῶν ἀπολύσασα ἄδειαν αὐτοῖς δέδωκεν, ἔνθα καὶ βούλοιντο, ἀπελθεῖν· ἐπεὶ γοῦν οὕτω ταῦτα ἐ[π'] ἀρχηγοῦ τῆς κακίας συνέβησαν καὶ ἡ τοῦ καθ' ὑμᾶς κάστρου σύνεσις τοῦ οἰκείου ἀγαθοῦ οὐκ ἀνεπαίσθητος γενομένη, ἀλλὰ καὶ λίαν συνετῶς τοῦτο καταλαβοῦσα καὶ ἐπιγνοῦσα, γραφὴν πρὸς τὴν βασιλείαν μου ἐξαπέστειλε διὰ τοῦ παρόντος Νικολάου τοῦ ἰατροῦ, ἵλεων ὑμῖν ἐπινεῦσαι τὴν βασιλείαν μου ἐκλιπαροῦσα καὶ τὴν προλαβοῦσαν εὐμένειαν ἐπὶ τῷ ὑμετέρῳ κάστρῳ ἐπιδείξασθαι ἱκετεύουσα καὶ τῆς εἰς τὴν Μεγαλόπολιν καὶ τὴν Ῥωμανίαν παρελεύσεως διά τε γῆς, διά τε θαλάσσης παραχωρῆσαι ὑμῖν, ἡ βασιλεία μου καὶ τὸ φθάσαν γενέσθαι κακὸν μὴ τῆς τοῦ παντὸς ὑμετέρου κάστρου βουλῆς ἀκριβῶς εἶναι εἰδυῖα καὶ τὴν ἐπὶ τοῖς πταίσασιν ἐκδίκησιν ἐκ θεοῦ προφανῶς λαβοῦσα, εὐμενῶς τε τὴν τοιαύτην ὑμετέραν γραφὴν παρεδέξατο, καὶ τὴν παροῦσαν γραφὴν αὐτῆς διὰ τοῦ αὐτοῦ Νικολάου τοῦ ἰατροῦ πρὸς ὑμᾶς ἐξαπέστειλε, δι' ἧς καὶ γνωρίζει ὑμῖν τὸ ἐπὶ τῷ κάστρῳ ὑμῶν ἀγαθὸν θέλημα τῆς βασιλείας μου, καὶ προτρέπεται, ἀποκρισιαρίους πρὸς τὴν βασιλείαν μου ἀποστεῖλαι, τὰ περὶ τῆς μεταξὺ τῆς βασιλείας μου καὶ ὑμῶν φιλίας καὶ δουλείας συμφωνήσοντας, καὶ ἔξεστιν ὑμῖν, εἰ βούλεσθε, οὕτω ποιῆσαι καὶ τῶν ἀπὸ τῆς βασιλείας μου θελητῶν ὑμῖν ἐπιτυχεῖν· γινωσκέτω δὲ ἡ σύνεσις ὑμῶν, ὅτι καὶ νῦν γενουϊτικὰ κάτεργα τὰ μέρη τῆς Ῥωμανίας περιπλέουσι, καὶ προφάσει τῶν Πισσαίων καὶ τὴν Ῥωμανίαν οὐκ ὀλίγα ζημιοῦσι, καὶ εἰ καὶ ἐπ' αὐτοῖς θεοῦ βοηθοῦντος γένηταί τι ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου μὴ ἀρέσκον ὑμῖν, οὐκ ἐκ τοῦ μέρους τῆς βασιλείας μου ἡ αἰτία, ἀλλ' ἐκ τῶν τὰ τοιαῦτα τολμᾶν ἐπιχειρούντων †.

† Μηνὶ μαρτίῳ ἰνδ. β.' †

† Βασιλικὸν εἰς τὸν συνετώτατον ἐξουσιαστὴν Γενούας καὶ τοὺς φρονιμωτάτους κουνσούλους καὶ σενάτωρας καὶ τὸ λοιπὸν πλήρωμα τοῦ κάστρου Γενούας †.

*Orig. char. bomb. tabull. Taurinensis.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## IX. (6707—1199) iunio ind. II.

*Imperator Alexius III. Angelus fidem dat publicam Pisanorum legatis in patriam reversuris.*

† Τοῖς παροῦσι συνετωτάτοις ἀποκρισιαρίοις Πίσσης, τῷ τε Γιτζούνη καὶ τῷ Μοδάνῳ, ὑποστρέφουσιν [εἰς] Πίσσαν, τὸ παρὸν τῆς βασιλείας μου ἐπεδόθη σιγίλλιον, ὡς ἂν τῇ τούτου ἐμφανείᾳ διέλθωσιν ἀκωλύτως ἐν ταῖς κατὰ πάροδον χώραις τῆς βασιλείας μου [μετ]ὰ τῶν ἀνθρώπων καὶ τῶν ἀλόγων αὐτῶν, μή τινος τῶν ἐν αὐταῖς ἐνεργούντων ἢ τῶν ἐξυπηρετούντων αὐτῶν ὀφείλοντος παρεμποδίσαι αὐτοὺς ἢ ἀναλαβέσθαι ἀπ' αὐτῶν τι χάριν ποριατικοῦ ἢ διαβατικοῦ ἢ σαγμαριατικοῦ ἢ κομμερκίου παρὰ τὴν περίληψιν τοῦ προσόντος τοῖς πιστοτάτοις τῇ βασιλείᾳ μου Πισσαίοις χρυσοβούλλου, τοῦ κατατολμήσοντος ποιῆσαι παρὰ τὴν περίληψιν τοῦ παρόντος σιγιλλίου τῆς βασιλείας μου σφοδρὰν ὑφορωμένου τὴν ἐξ αὐτῆς ἀγανάκτησιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ τοιοῦτον τῆς βασιλείας μου σιγίλλιον ἐπεδόθη αὐτοῖς. † Μηνὶ ἰουνίῳ ἰνδικτιῶνος δευτέρας †.

*Orig. cart. bomb. tabull. Florentini.*

## X. (6709—1201) mense aprili ind. IV.

*Imperator Alexius III. Angelus fidem dat publicam Guilelmo Cacallaro mercede conducturo piratas Ianuenses.*

† Ἐπεὶ ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι ἀπὸ τῶν μερῶν τῆς Σικελίας ἀπέπλευσαν πλοῖα καὶ κάτεργα κουρσαρικὰ γεννουϊτικά, φρονοῦντα κατὰ τῶν χωρῶν τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας καὶ εἰς λύμην αὐτῶν ἀφορῶντα, τὸ παρὸν τῆς βασιλείας μου σιγίλλιον ἐπεδόθη τῷ Κακαλλάρῳ Γιλιέλμῳ τῷ Γεννουΐτῃ, ὡς ἂν τῇ τούτου ἐμφανείᾳ διέλθῃς ἀκωλύτως πάντῃ καὶ ἀπαρεμποδίστως ἐν πάσαις ταῖς κατὰ πάροδον χώραις τῆς βασιλείας μου, καὶ ἀναψηλαφήσῃς καὶ εὑρήσῃς τοὺς κόμητας τῶν τοιούτων κουρσαρικῶν κατέργων γεννουϊτικῶν καὶ πλοίων, καὶ κατασκευάσῃς αὐτοὺς πάντως καταλαβεῖν πρὸς τὴν βασιλείαν μου καὶ τυχεῖν τυπωμάτων ἐτησίων, καθὼς καὶ οἱ λοιποὶ οἱ ἀπὸ τοῦ γένους τῶν Λατίνων τῇ βασιλείᾳ μου διὰ στοιχημάτων ἐκδουλεύουσι, μή τινος τῶν ἐνεργούντων ἐν ταῖς χώραις τῆς βασιλείας μου ἢ τῶν ἐξυπηρετούντων αὐτῶν ὀφειλόντων παρεμποδίσαι σοι ἢ ἀναλα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Λ. Α. τμ. Κ. τ. Ε. Ι. ΙΩΑΝΝΙΝΑ 2006

βέσθαι ἀπὸ σοῦ τι χάριν ποριατικῶν ἢ διαβατικῶν· διδῶνται δέ σοι καὶ ἄλογα κατὰ διαδοχὰς καὶ διοικήσεις παρὰ τῶν κατὰ χώρας ἐνεργούντων, ἔτι δὲ καὶ ἐξελαστικὰ, εἰ δεήσει, εἰς τὸ τάχιον ἐφευρεῖν τὰ τοιαῦτα γεννουϊτικὰ πλοῖα καὶ κάτεργα, καὶ πρὸς τὴν βασιλείαν μου ἀγαγεῖν, ἀφ' ὧν μερῶν παραπλέουσι ταῦτα, τοῦ κατατολμήσοντος ποιῆσαι παρὰ τὴν περίληψιν τοῦ παρόντος σιγιλλίου τῆς βασιλείας μου σφοδρὰν ὑφορωμένου τὴν ἐξ αὐτῆς ἀγανάκτησιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ τοιοῦτον τῆς βασιλείας μου σιγίλλιον ἐπεδόθη αὐτῷ.

† Μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος δ' †.

*Orig. cart. bomb. Fr. equitis Ansaldi.*

## XI. 6711 (1202) 13. octobris ind. V.

*Imperatoris iussu traduntur Ianuensibus loca eis donata in urbe Constantinopoli.*

† Μηνὶ ὀκτωβρίῳ ιγ' ἰνδ. ε' θεῖον καὶ βασιλικὸν προσκυνητὸν πρόσταγμα ἐνεχειρίσθη ἡμῖν περιέχον οὕτω· πανσέβαστε, σεβαστὲ, οἰκεῖε τῇ βασιλείᾳ μου, πρωτονοτάριε κῦρ Κωνσταντῖνε Πεδιαδίτα, καὶ σὺ, λογοθέτα τε γραμματικὲ πανσέβαστε, σεβαστὲ κῦρ Θεόδωρε Τριβλαττίτα. ἑνώθητε τῷ δεσιμωτάτῳ Ἰωάννῃ τῷ Ἀνζᾷ, καὶ παράδοτε τῷ συνετωτάτῳ ἀποκρισιαρίῳ Γενούας Ὠτομπόνῳ Δελακρόζα δικαίῳ τοῦ κάστρου καὶ τῆς χώρας τῆς Γενούας τὰ παρὰ τῶν Γενουϊτῶν προκατεχόμενα ἐν τῇ Μεγαλοπόλει ἐνοικικὰ καὶ τὰς παραλίους σκάλας, τὰ καὶ προδεδωρημένα αὐτοῖς, ἔτι δὲ παράδοτε αὐτῷ καὶ τὰ ἀρτίως ἐπέκεινα τούτων δωρηθέντα παρὰ τῆς βασιλείας μου τῷ αὐτῷ κάστρῳ καὶ τῇ χώρᾳ Γενούας οἰκήματα τῆς μονῆς τῆς Ὑψηλῆς τὰ πλησιάζοντα τοῖς παρὰ τῶν Γενουϊτῶν κατεχομένοις οἰκήμασιν, ἃ δὴ οἰκήματα εἰσὶ ταῦτα· οἴκημα κατεχόμενον παρὰ τοῦ Τζαγκάρεως ἐπὶ ἐνοικίῳ ὑπερπύρῳ ἑνὶ πρὸς τῷ ἡμίσει. οἴκημα τοῦ Κουλικᾶ ἔχον ἐνοίκιον ὑπέρπυρα τρία ἥμισυ. τὸ πλησίον αὐτῷ ἀνωγεωκατώγεον ἔχον ἐνοίκιον ὑπέρπυρα πέντε. ἕτερον κατώγεον κατεχόμενον παρὰ τοῦ Κυριακοῦ ἐπὶ ἐποικίῳ ὑπερπύρῳ ἑνί. ἕτερα ἀνωγεωκατώγεα τρία ἔχοντα ἐνοίκιον ὑπέρπυρα θ' πρὸς τῷ ἡμίσει. ἕτερον ἀνώγεον δίπατον ἔχον ἐνοίκιον ὑπέρπυρα πέντε. ἕτερον ἀνώγεον δίπατον ἔχον ἐνοίκιον ὑπέρπυρα ἑπτά. ἕτερον κατεχόμενον παρά τινος Εὐδοκίου εἰς ὑπέρπυρα δ', ἀλλὰ δὴ καὶ τὸ πλησιάζον ἕτερον οἴκημα τῆς μονῆς τοῦ Πατρικίου Θεο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. τη Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δοσίου καὶ ἔχον ἐμφύτευμα ὑπέρπυρα θ'. ἕτερον οἴκημα πλησιάζον καὶ τῇ μονῇ τοῦ ἀπὸ Λογοθετῶν διαφέρον καὶ κατεχόμενον παρά τινος Εὐδοκίου εἰς ὑπέρπυρα δέκα. ἔτι παράδοτε τῷ αὐτῷ ἀποκρισιαρίῳ Γενούας δικαίῳ τοῦ κάστρου καὶ τῆς χώρας Γενούας καὶ τὴν μίαν παράλιον σκάλαν τὴν διαφέρουσαν τῇ σεβασμίᾳ μονῇ τοῦ Μανουὴλ καὶ πλησιάζουσαν τῇ παρὰ τῶν Γενουϊτῶν προκατεχομένῃ σκάλᾳ καὶ ἔχουσαν ἐτησίως ἐμφύτευμα λίτραν μίαν ὑπερπύρων. εἶχε τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ε' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Κατὰ γοῦν τὴν περίληψιν τοῦ τοιούτου βασιλικοῦ προσκυνητοῦ προστάγματος ἐπήλθομεν τὰ προδωρηθέντα οἰκήματα τὰ δηλούμενα ἐν τῷ γεγονότι πρακτικῷ τῆς παραδόσεως αὐτῶν κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς ι' ἰνδ., καὶ διαγραφὴν κατὰ ταὐτὸν καὶ παράδοσιν τῶν τοιούτων πεποιήκαμεν πρὸς τὸν συνεπόμενον ἡμῖν καὶ παραλαμβάνοντα δικαίῳ τοῦ κάστρου Γενούας, τὸν συνετώτατον ἀποκρισιάριον Ὠτομπόνον Δελακρόζα, πρὸς δὲ καὶ τῶν ῥητῶς δηλουμένων ἐν τῷ γεγονότι ἀρτίως προσκυνητῷ προστάγματι τῷ ἀνατατταμένῳ ἄνωθεν ἐπέκεινα τῶν προδωρηθέντων καὶ προπαραδοθέντων αὐτοῖς, καὶ ἔχουσιν οὕτως· τὸ ὡς ἔκ τινος ἀρχῆς ἐγγεγραμμένον περίμετρον τοῦ ἐμβολοτοπίου καὶ τῶν περὶ αὐτό, τὸ ἀρχόμενον ἀπὸ τῆς πρὸς ἀνατολὰς ῥυμίδος τῆς διαιρούσης ἐκεῖθεν τὰ οἰκήματα τοῦ ὁσίου Βασιανοῦ ἤτοι τοῦ μετοχίου τῶν Ἐλεγμῶν, ἔνθα καὶ πινσὸς ἐγχόρηγος καὶ διῆκον πρὸς δύσιν κατέναντι τῶν οἰκημάτων τῆς μονῆς τῆς Ὑψηλῆς ἔχει μῆκος πήχεις εἰκοσιπέντε καὶ πλάτος ἀπὸ τοῦ δημοσίου ἐμβόλου καὶ πρὸς μεσημβρίαν μέχρι καὶ τοῦ ἐμπήλου τοίχου τῶν οἰκημάτων τοῦ ἀρχιητροῦ τῶν διαφερόντων τοῖς Γενουΐταις πήχεις ιθ'. κατὰ ἀνατολὰς τοῦ τοιούτου περιμέτρου σύνεγγυς τῆς ῥηθείσης ῥυμίδος οἴκημα ἀνώγεον διὰ τρικλιναρίων ὑποσφαίρων ἐπικείμενον τῷ πρὸς τὴν αὐτὴν ῥυμίδα ἐγχορήγῳ βυσαλοκτίστῳ κτίσματι μετὰ καὶ ἡλιακοῦ χαμαγαίου πρὸς μεσημβρίαν καὶ πρὸς δύσιν ἀνωγέου ἡλιακοῦ, οὗ κάτωθεν κατάχυτον ἐξωστάρων τοῦ μακελλικοῦ ἐργαστηρίου κατεχόμενα παρὰ Ἰωάννου τοῦ Ῥαφομμάτου ἐπὶ ἐμφυτεύματι ὑπερπύρων δύο διὰ τὸ κτισθῆναι παρ' αὐτοῦ, καὶ πρὸς δύσιν τούτων οἰκήματα χαμαίγαια τρία διὰ τρικλιναρίων ζυγωμάτων μετὰ καὶ καταχύτου σκέποντος τὰς τούτων σορτάρας κατεχόμενα παρὰ Λέοντος τοῦ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ.Α της Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Στροβιλιάτου ἐπὶ ἐμφυτεύματι ὑπερπύρων δ' διὰ τὸ κτισθῆναι παρ' αὐτοῦ. ἀπὸ τοῦ τέλους τῶν κε' πήχων κατἶσον τούτων πρὸς δύσιν καὶ τῶν διαγραφέντων κουβουκλὸν ἀνώγεον καὶ τρικλινάρια δύο πρὸς ἀνατολὰς καὶ μεσημβρίαν, ὧν τὰ κατώγεα εἰς κωπαρικὸν ἐργαστήριον, κατεχόμενα παρὰ τῆς συμβίου τοῦ ἐξάρχου ἐκείνου Ἀλεξίου τῆς Καπαρίνας ἐπὶ ἐμφυτεύματι ὑπερπύρων τεσσάρων. ἀπὸ τοῦ τέλους τῶν αὐτῶν εἴκοσι πέντε πήχων καὶ πρὸς δύσιν μέχρι καὶ τοῦ τέλους τῆς διακρατήσεως τοῦ ἐμβόλου τοῦ συναπολήγοντος τῇ ἀρχῇ τοῦ ἐμπήλου πινσοῦ τοῦ ὑπανέχοντος τὰ ἕτερα οἰκήματα τῆς μονῆς τοῦ Πατρικίου Θεοδοσίου τὰ μέχρι τῆς ῥυμίδος ἔδαφος ἄνετον ἔχον μῆκος πήχεις ἑξήκοντα πέντε κατὰ τὸ τῆς προπαραδόσεως πρακτικὸν καὶ πλάτος ἀπὸ τοῦ δημοσίου ἐμβόλου καὶ πρὸς μεσημβρίαν, ἤτοι τὸ πρὸς δύσιν μέρος τῆς θέσεως τῶν οἰκημάτων τοῦ Πατρικίου Θεοδοσίου πήχεις θ' ἥμισυ, τὸ δὲ πρὸς ἀνατολὰς πήχεις ι' μέχρι τῶν οἰκημάτων τῆς Ὑψηλῆς. ἐν τῷ πρὸς δύσιν τέλει τοῦ διαγραφέντος τοιούτου ἐδάφους οἰκήματα ἀνώγεα δύο διὰ τρικλιναρίου ὑποσφαίρου μετὰ καὶ ἡλιακοῦ πρὸς μεσημβρίαν, ὧν τὰ κατώγεα μετὰ συρταρέων τοῦ κωπαρικοῦ ἐργαστηρίου καὶ σύνεγγυς τούτων πρὸς ἀνατολὰς οἴκημα χαμαίγαιον. κατεχόμενα ταῦτα παρὰ τῶν δύο αὐταδέλφων τῶν Ὀφικιάνων ἐπὶ ἐνοικίῳ νομισμάτων ὑπερπύρων ιη'. πρὸς ἄρκτον τῆς περιοχῆς τοῦ διαγραφέντος περιμέτρου ἀπὸ τῆς πρώτως ῥηθείσης ῥυμίδος καὶ πρὸς δύσιν μέχρι καὶ τῆς ἀναγραφομένης ῥυμίδος τῆς εἰς διεξόδευσιν τῶν Ἀσκοθυριαρέων, ἐποίκων τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν, ἔδαφος συμπαρεκτεινόμενον τῷ τοιούτῳ περιμέτρῳ ἔχον πλάτος ἀπὸ τοῦ ἐμβολοτοπίου καὶ πρὸς ἄρκτον πήχεις ιβ' μέχρι τῆς διαστάσεως. ἐπ' αὐτῷ τῷ ἐδάφει εὕρηται καὶ φρέαρ μετὰ περιστομίδος μαρμαρίνου καὶ πωρίνου, ἡ δὲ περιλιμπανομένη διάστασις ἡ ἐν τοῖς προθύροις τῶν Ἀσκοθυριαρέων ὀφείλει παραφυλαχθῆναι διὰ τὴν πάγκοινον δίοδον κατὰ τὸ πρότερον. ἐν τῷ πρὸς δύσιν ἀκραίῳ μέρει τοῦ αὐτοῦ ἐδάφους οἴκημα ἀνώγεον εἰς κωπαρικὸν ἐργαστήριον διὰ τρικλιναρίου ζυγωματικοῦ καὶ ἡλιακοῦ πρὸς ἀνατολὰς διὰ τροπικοδιρρύτου κατεχόμενον παρὰ Ἰωάννου τοῦ Παστοῦ ἐπὶ ἐμφυτεύματι ὑπερπύρων πέντε διὰ τὸ κτισθῆναι παρ' αὐτοῦ. καὶ πρὸς ἀνατολὰς ἄκρον τοῦ τοιούτου ἀνέτου ἐδάφους τοῦ συντεταμένου τῷ ἐμβόλῳ οἴκημα χαμαίγεον διὰ καταχύτου τετραπάγου εἰς κωπαρικὸν ἐργαστή-



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ
Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ριον κατεχόμενον παρὰ Λέοντος τοῦ Στροβιλιάτου ἐπὶ ἐμφυτεύματι ὑπερπύρων τεσσάρων διὰ τὸ κτισθῆναι παρ' αὐτοῦ. πρὸς μεσημβρίαν τοῦ ἐν τῇ καταρχῇ γραφέντος ἐδάφους καὶ κατίσον τῆς συμπαρακειμένης ῥυμίδος οἰκοστάσιον διὰ κουβούκλου διπάτου καὶ τρικλιναρίου ἀνωγέου πρὸς δύσιν μετὰ καὶ ἡλιακῶν καὶ ἐξωστάρων καταχύτων, χαμαιγέων δύο πρὸς ἄρκτον καὶ περιαυλίου πρὸς δύσιν, κατεχόμενον παρὰ τοῦ Λέοντος τοῦ Στροβιλιάτου ἐπὶ ἐνοικίῳ ὑπερπύρων ιη'· τὸ δὲ περίμετρον τούτων ἔχει μῆκος μέχρι καὶ τῶν πρὸς δύσιν τῶν οἰκημάτων τῆς Ὑψηλῆς πήχεις κδ' καὶ πλάτος τοῦ ὀσπητοτοπίου καὶ μόνου μέχρι τῆς ῥυμίδος τῆς διαιρούσης τὰ δίκαια τοῦ θείου ναοῦ τῆς ἁγίας Δυνάμεως πήχεις ὀκτώ. σύνεγγυς καὶ πρὸς ἄρκτον τοῦ ῥηθέντος κωπαρικοῦ οἰκήματος οἰκήματα ἀνωγεωκατώγεα τρία διὰ τρικλιναρίου δισφαίρου τὰ μέχρι καὶ τοῦ νεροδρόμου τοῦ διαιροῦντος τὰ οἰκήματα τῆς Περιβλέπτου· τὰ τούτων κατώγεα εἰς κωπαρικὰ ἐργαστήρια, τὸ δὲ πλάτος τούτων ἀπὸ τῆς πρὸς ἀνατολὰς ῥυμίδος καὶ πρὸς δύσιν πήχεις ὀκτὼ ἥμισυ, κατεχόμενα παρὰ τοῦ Μακρογένους ἐπὶ ἐνοικίῳ ὑπερπύρων εἰκοσιενός. πρὸς μεσημβρίαν τῆς διόδου τῆς πρὸς δύσιν καὶ κατίσον τοῦ προγεγονότος ἐμβόλου οἰκήματα δύο, ὧν τὰ κατώγεα εἰς κωπαρικὰ ἐργαστήρια τὰ μέχρι καὶ τῆς ῥυμίδος τῆς εἰσαγούσης εἰς τὸ τούτων περίαυλον, κατεχόμενα παρὰ τῶν ῥηθέντων Ὀφικιάνων ἐπὶ τῷ προγραφέντι ἐνοικίῳ τῶν δεκαοκτὼ ὑπερπύρων. πρὸς ἄρκτον τοῦ περιορισθέντος ἐμβόλου καὶ τῆς αὐτῆς διόδου καὶ ὄπισθεν τῶν τοῦ Παστοῦ οἰκημάτων οἴκημα ἀνώγεον διὰ τρικλιναρίου ὑποσφαίρου τὸ ἀπὸ τῆς περιοχῆς τοῦ μαγκοπικοῦ ἐργαστηρίου πλατυνόμενον κατ' ἰσότητα καὶ δι' ὅλης τῆς ἀπὸ τοῦ ἐμβόλου εἰσοδοεξόδου, ἐν ᾧ καὶ τὸ φρέαρ. καὶ πρὸς ἀνατολὰς τούτου καὶ ἐκ πλαγίου τῶν τοῦ Παστοῦ οἰκημάτων τρικλινάριον ἀνώγεον, οὗ τὸ κατώγεον εἰς σταῦλον. τὰ δέ γε τῆς προσεπιδόσεως τοῦ νῦν προσκυνητοῦ προστάγματος εἰσὶ ταῦτα· πρὸς μεσημβρίαν τῆς περιοχῆς τοῦ ἐμβόλου καὶ κατ' ἰσότητα τούτου οἰκήματα ἀνωγεοκάτωγα τρία διρρυτόσκεπα, ὧν τὸ ἐνοίκιον νομίσματα θ' πρὸς τῷ ἡμίσει, διαφέροντα τῇ μονῇ τῆς Ὑψηλῆς. ἀντικρὺ τούτων καὶ ἐκ πλαγίου τῆς ῥυμίδος οἰκήματα δίπατα δ' διὰ τρικλιναρίων ζυγωματικῶν, ὧν τὸ ἐνοίκιον σὺν τοῖς μεσοπάτοις καὶ τοῖς κατωγέοις αὐτῶν ὑπέρπυρα εἰκοσιέν. καὶ πρὸς ἀνατολὰς τούτων τρικλινάριον ζυγωματικὸν διῃρημένον, οὗ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΘΕΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ
E. Δ. τῆς Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐνοίκιον σὺν τῷ κατωγέῳ ὑπέρπυρα θ', καὶ ταῦτα τῆς αὐτῆς μονῆς τῆς Ὑψηλῆς. τὸ δὲ περίμετρον τούτων ἔχει μῆκος πήχεις τριάκοντα δύο ἀπὸ τοῦ περιαύλου τῶν οἰκημάτων τοῦ ἰατροῦ μέχρι τῆς ῥυμίδος, ἧς πρὸς δύσιν τὰ οἰκήματα τῆς μονῆς τοῦ Μανουὴλ, καὶ πλάτος ἀπ' αὐτῆς καὶ μέχρι τοῦ περιορισμοῦ τοῦ ἐμβόλου πήχεις εἴκοσι· συνεισάγεται δὲ τῷ τοιούτῳ περιμέτρῳ καὶ τὸ ἔδαφος τοῦ κατὰ τὸ πρὸς δύσιν ἄκρον χαμαιγέου καταχύτου καὶ τοῦ κατ' ἰσότητα τούτου μέρους τοῦ διπάτου οἰκήματος τὸ τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν. πρὸς ἀνατολὰς τοῦ περιαύλου τῶν προγραφέντων οἰκημάτων τοῦ Πατρικίου Θεοδοσίου καὶ ὡς πρὸς μεσημβρίαν κουβούκλιον ὑπερῷον καὶ πρὸς μεσημβρίαν τούτου καὶ κατωτέρω κουβουκλὸν καὶ τρικλινάριον καὶ πρὸς ἄρκτον τούτων καὶ ὡς πρὸς δύσιν τρικλινάριον καὶ κουβουκλὸν μετὰ καὶ ἡλιακοῦ πρὸς ἀνατολὰς καὶ διρρύτου τῆς ἐκκλησίας περιπεφραγμένα καὶ τεθυρωμένα σὺν τοῖς κατωγέοις αὐτῶν. ἀντικρὺ τούτων πρὸς δύσιν οἰκήματα ἀνώγεα δύο, τὸ ἓν ἄνωθεν τῆς πόρτης, τεθυρωμένα σὺν τῷ κατωγέῳ καὶ τῇ πόρτῃ. τὸ περίαυλον ἀποφράσσεται διὰ [τ]ούτων καὶ τῶν προγραφέντων καὶ τοίχου πρὸς μεσημβρίαν· τὸ ἔδαφος τοῦ τοιούτου περιαύλου καὶ τῶν οἰκημάτων ἔχει μῆκος πήχεις κε' καὶ πλάτος μέχρι τῶν ξυλοκιόνων τοῦ ἡλιακοῦ τῶν προγραφέντων πήχεις δεκατρεῖς· [ἐπὶ] δὲ τούτων ἐμφύτευμα νομίσματα ὑπέρπυρα θ'. πρὸς δύσιν τῶν εἰρημένων τῆς περιοχῆς τοῦ μαγκοπικοῦ ἐργαστηρίου τρικλινάριον ἀνώγεον τὸ προσεγγίζον τῷ ἐγχορήγῳ βυσαλοκτίστῳ κτίσματι, οὗ τὸ κατώγεον μετὰ μυλοστασίου διαφέρον τῇ μονῇ τοῦ ἀπὸ Λογοθετῶν, κατεχόμενον παρὰ γυναικὸς Εὐδοκίας χήρας ἐπὶ ἐμφυτεύματι ὑπερπύρων δέκα· τὸ περίμετρον τοῦ τοιούτου ἔχει πήχεις δώδεκα μέχρι τοῦ ἀποτοιχίσματος τῆς αὐτῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν τοῖς προγραφεῖσι, καὶ τὸ πλάτος τούτου πήχεις ὀκτώ. Διὰ τῶν παραλίων σκαλῶν. ἡ παράλιος σκάλα ἡ πρώην κατεχομένη παρὰ τῶν αὐτῶν Γενουϊτῶν ἡ καὶ ἔξωθεν τῆς πόρτης τοῦ παλαιοῦ ῥαίκτορος καὶ περιοριζομένη πρὸς ἀνατολὰς διὰ τοῦ κανάλου τοῦ διαιροῦντος ἐκεῖθεν τὴν ἑτέραν σκάλαν τῆς μονῆς τοῦ Μανουὴλ καὶ ἀπευθυνομένη πρὸς δύσιν καὶ ἐκεῖθεν τοῦ πύργου τοῦ ἐκ πλαγίου τῆς αὐτῆς πόρτης, ὡσεὶ πήχεις ἑπτὰ ἥμισυ, ὡς εἶναι τὸ ὅλον μῆκος ταύτης πήχεις τριάκοντα τρεῖς. καὶ πλάτος ἀπὸ τοῦ τείχους καὶ μέχρι τοῦ ψάμμου πρὸς δύσιν τοῦ καγκέλου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟ. ΠΕΤΣΙΟΣ
Ε.Λ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς εἰσόδου ταύτης καὶ κατῖσον τῆς δημοσίας ὁδοῦ οἰκήματα χαμαίγεα τέσσαρα διὰ καταχύτων μετὰ καὶ προβολῶν. ἡνωμένως τῷ πύργῳ καὶ κατέμπροσθεν κατάχυτον εἰς ἐργαστήρια δύο. πρὸς ἀνατολὰς τοῦ κανάλου τοῦ ἐξερχομένου ἀπὸ τῆς αὐτῆς πόρτης καταλλακτικὸν τραπέζιον σκεπόμενον διὰ καταχύτου. ἐν τῇ ἀπὸ τοῦ πύργου παρεκτάσει τῶν ἑπτὰ ἥμισυ πήχεων κατάχυτον ἀνώγεον καὶ ἔμπροσθεν τούτου χαμαίγεον μετὰ καὶ συρταρέων. πρὸς ἀνατολὰς τῆς πόρτης καὶ κατῖσον τοῦ τείχους μετὰ ἀποφυγήν τινὰ οἰκήματα χαμαίγεα τρία διὰ διπάτου καταχύτου. ἀντικρὺ τούτων καὶ κατῖσον τοῦ αἰγιαλοῦ καὶ ἔγγιστα τοῦ κανάλου οἴκημα χαμαίγεον διὰ διπάτου καταχύτου. πρὸς δύσιν τούτου τρικλινάριον χαμαίγεον μετὰ προβολῆς ἐν αὐτῇ καὶ ξυλοσκάλαι δύο. ἑτέρα σκάλα ἡ πρὸς ἀνατολὰς ταύτης, ἀρχομένη ἀπὸ τοῦ αὐτοῦ ὅλου κανάλου καὶ ἀπευθυνομένη πρὸς ἀνατολὰς μέχρι καὶ τῆς ἐγγύτητος τοῦ ἑτέρου κανάλου τοῦ ὑπαντιάζοντος τῷ πρὸς ἀνατολὰς ὡς εἰς πύργωμα ἀντιγωνιαίῳ τῷ καὶ μέσον τῆς κορτίνης ἔχουσα μῆκος πήχεις τριάκοντα ἐννέα ἥμισυ τέταρτον ἄνευ τοῦ κανάλου, καὶ πλάτος ἀπὸ τοῦ τείχους καὶ μέχρι τοῦ κλύσματος τῆς θαλάσσης. σύνεγγυς τοῦ τείχους καὶ πρὸς ἀνατολὰς δίρρυτα χαμαίγεα δύο μετὰ καὶ καταχύτου τῆς προσβολῆς, κατεχόμενα παρὰ τοῦ βασταγαρίου Θεοφυλάκτου ὡς κτισθέντα παρ' αὐτοῦ. πρὸς δύσιν τῆς εἰσόδου τῆς αὐτῆς σκάλας καὶ κατῖσον τῆς δημοσίας ὁδοῦ οἰκήματα ἀνώγεα τρία διὰ τρικλιναρίων ζυγωματικῶν μετὰ καὶ ἡλιακοῦ πρὸς θάλασσαν διὰ καταχύτου μεγάλου καὶ διρρύτου. ἐν τῇ τοιαύτῃ σκάλᾳ εὑρέθη καὶ ξυλόσκαλα καὶ ἐν τῇ μασχάλῃ τοῦ πύργου κάγκελον τοῦ ἀποθέτου. πρὸς τούτοις παρεδόθη καὶ ἡ προσεπιφιλοτιμηθεῖσα αὐτοῖς ἑτέρα σκάλα τῆς σεβασμίας μονῆς τοῦ Μανουήλ, ἡ πρὸς δύσιν τῆς προειρημένης καὶ παρ' αὐτῶν κατεχομένη, ἡ περιοριζομένη πρὸς ἀνατολὰς διὰ τοῦ εἰς νεροδρόμον ἀνέτου ῥυμιδώματος καὶ διατεταμένη πρὸς δύσιν μέχρι καὶ τῆς ἑτέρας σκάλας τῆς αὐτῆς μονῆς καὶ ἔχουσα κατὰ διάμετρον πήχεις δεκατρεῖς καὶ πρὸς μεσημβρίαν ταύτης ἐξ αὐτοῦ δὴ τοῦ ῥηθέντος διαμέτρου τῶν δεκατριῶν πήχεων οἰκήματα χαμαίγεα δύο διὰ τρικλιναρίου μετὰ ἐργαστηρίων καὶ κατ' εὐθεῖαν τούτων πρὸς ἀνατολὰς οἴκημα ἀνώγεον διὰ τρικλιναρίου τὸ μέχρι τοῦ αὐτοῦ ἀνέτου ῥυμιδώματος, οὗ τὸ κάτωγον εἰς ἐργαστήριον καὶ ἐκ πλαγίου τούτου πρὸς ἄρκτον κουβουκλὸν ἀνώγεον, οὗ τὸ κατώγεον

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΥΓΕΝΙΑ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

εἰς καπηλικὸν ἐργαστήριον. ἐφαπλοῦται δὲ ἡ τοιαύτη σκάλα ἀπὸ τῆς ἐν τοῖς προθύροις τῶν ταύτης ἐργαστηρίων δημοσίας διόδου καὶ ἄχρὶ τοῦ ἀκροσκάλου καὶ αὐτοῦ τοῦ κλύσματος τῆς θαλάσσης. καὶ ἀντικρὸ ταύτης σύνεγγυς τοῦ τείχους οἰκήματα χαμαίγεα τέσσαρα μετὰ ἐργαστηρίων συντεταμένα τῷ αὐτῷ περιμέτρῳ τῶν δεκατριῶν πήχεων. κέκτηται δὲ αὕτη ἐτήσιον ἐμφύτευμα κατὰ τὴν περίληψιν τοῦ προσκυνητοῦ προστάγματος νομίσματα ὑπέρπυρα λίτραν μίαν. τὰ δὲ τοῦ συμπαραδοθέντος αὐτοῖς οἴκου τοῦ ἐπιλεγομένου τοῦ Βοτανειάτου τοῦ πλησίον τῆς τοποθεσίας τῶν Καλυβίων ἔχουσιν οὕτως· ἡ ἁγία ἐκκλησία τρουλωτὴ μονόκογχος μετὰ κιόνων τεσσάρων τοῦ ἑνὸς ἀσπροβυθίνου. ὁ ἐπίλωρος καὶ ἡ διαστροφὴ τοῦ μυακίου δι' ὀρθομαρμαρώσεως μετὰ τῶν χαμαρῶν. ἡ ἔνδυσις τῶν πρὸς δύσιν γαματισμάτων διὰ ταινστρίων Νικομηδείων σὺν τῷ κοσμήτῃ, ὑπεράνω γε τούτων εἰκονίσματα διὰ μουσείου χρυσοῦ καὶ χροιακοῦ σὺν τῷ τρούλῳ καὶ τῷ τετραχαμάρῳ τῶν τριῶν μετὰ ὑελίων. ἡ περιφραγὴ τοῦ βήματος διὰ στημονόρων τεσσάρων πρασίνων μετὰ στεφάνων χαλκῶν, στήθων τρυπητῶν δύο, κοσμήτου μαρμαρίνου καὶ τέμπλου ξυλίνου κεχρυσωμένου. τὸ μαρμάρινον καταπέτασμα τῆς μετὰ ῥιγλίων τεσσάρων ἁγίας τραπέζης διὰ λεπτοκαλάμων τεσσάρων καὶ ἐν τῇ περιφραγῇ συστεμάτια δύο καὶ στῆθα δύο μετὰ καγκελοθυρίδων θυρῶν καὶ θυρίδων. ἄνωθεν τοῦ πρὸς δύσιν συστεματίου εἰκόνισμα διάγλυφον μαρμάρινον. ὁ πάτος διὰ τραπεζίου πρασίνου πλοκῆς μετὰ συγκοπῆς καὶ περιφερίου φλεγμονούσου, πρὸς μεσημβρίαν παραπτέρυγον διὰ τροπικῆς εἰκονισμένης καὶ κογχαρίου διὰ μουσείου. ἡ περιφραγὴ τούτου διὰ λεπτοκαλάμων τριῶν, ἁρμοσφηνίου καὶ κοσμήτου μαρμαρίνου. αἱ δύο εἴσοδοι μετὰ συστεματίων μαρμαρίνων καὶ ἑτέρου πεφραγμένου καὶ ὁ πάτος διὰ μαρμάρων ἄσπρων, συγκοπῆς καὶ ὀμφάλων. ὁ ἔξωθεν διὰ ἡμιγύρου σαθροῦ ἡλιακὸς διὰ λεπτοκαλάμων δύο καὶ ὁ πάτος διὰ μαρμάρων. τὸ πρὸς ἄρκτον παραπτέρυγον διὰ τροπικῆς εἰκονίσματος μετὰ κογχαρίου ἀπεριφράγου πεπατωμένου καὶ μόνου διὰ μαρμάρων. ἡ πρὸς δύσιν περιφραγὴ διὰ κιόνων καὶ στήθων δύο μετὰ καγκελοθυρίδων καὶ λεπτοκαλάμων δύο, συστεματίου καὶ ὀρθοκαγκέλων δύο καὶ ὑελίων ἐλλιπῶν. ἐν τοῖς φωτικοῖς πρὸς δύσιν τῆς ἐκκλησίας τροπικὴ ἐμμύακος σαθρά, βασταζομένη διὰ τοίχων καὶ κιόνων δύο μετὰ χαμαρῶν, καὶ ἕτερα ἔξωθεν. ἐν τῷ πρὸς μεσημβρίαν δια-

χώρῳ συστεμάτιον μαρμάρινον καὶ πρὸς ἄρκτον κοσμῆτα δύο. πρὸς ἄρκτον ταύτης κουβουκλὸν μετὰ λεπτοκαλάμων δύο καὶ ὁ πάτος διὰ μαρμάρων ἄσπρων καὶ πλοκῆς. ἔξωθεν τούτου ἡμίγυρον σαθρὸν καὶ περιεγηγερμένον· ἡ περιφραγὴ διὰ σφενδάρων καὶ ὁ διὰ σανίδων πάτος ἐλλιπής. πρὸς δύσιν τούτων καρυκόξυλον σαθρὸν σφενδαροπερίφραγον πεπατωμένον διὰ κομματίων. πρὸς δύσιν καὶ κατ᾽ εὐθεῖαν τῶν τοιούτων πάτος ἀσκεπὴς τελείως σαθρὸς καὶ ἐλλιπής, ἐν ᾧ κιόνες πέντε, λεπτοκάλαμον καὶ συστεμάτιον καὶ ἀπὸ τούτου ὠατὸν ἐξάφραγον διερρηγμένον καὶ σαθρὸν μετὰ λεπτοκιόνων τριῶν, λεπτοκαλάμων ἑπτά, ὀρθοκαγκέλου καὶ κοσμητῶν τριῶν. πρὸς μεσημβρίαν τοῦ ῥηθέντος πάτου καὶ ὡς πρὸς δύσιν κούβουκλον καὶ κατάχυτον τοῦ παρακελλίου μετὰ κιόνων δύο, στήθου καὶ συστεματίου μαρμαρίνου. ὁ πάτος τοῦ κουβούκλου διὰ μαρμάρων ἄσπρων. πρὸς ἀνατολὰς κατάχυτον δίπατον μετὰ στήθων δύο, κιόνων δύο, καὶ ὁ πάτος διὰ κομμάτων συγκοπῶν καὶ πενταομφάλου, ἐν ᾧ καὶ συστεμάτιον καὶ πρὸς ἀνατολὰς τούτου κούβουκλον μετὰ κιόνων τεσσάρων, συστεματίου, κοσμήτου καὶ σφενδάρων, καὶ ὁ πάτος διὰ μαρμάρων καὶ συγκοπῆς ἐλλιποῦς. πρὸς μεσημβρίαν τῶν τοιούτων τρίκλινος ξυλόπατος μετὰ συστεματίων ἑπτά, κιόνων δύο. πρὸς ἀνατολὰς τούτων ἡλιακὸς ἀσκεπὴς πεπατωμένος διὰ πλακίων ἀληθινῶν ἐλλιπῶν καὶ ἄσπρων ὀλιγοστῶν, οὗ πρὸς ἄρκτον κουβουκλὸν πεπατωμένον διὰ μαρμάρων ἄσπρων ἀληθινῶν καὶ συγκοπῆς ἐλλιποῦς ἐκ πλαγίου τοῦ τρικλινίου καὶ ὡς πρὸς ἀνατολὰς κουβουκλὸν καὶ δίρρυτον μετὰ κιόνων ἓξ καὶ στήθων δύο, οἱ πάτοι τούτων σαθροὶ καὶ ἐλλιπεῖς. πρὸς δύσιν τούτων τρικλινάριον πεπατωμένον κατὰ τὸ δίμοιρον διὰ συγκοπῆς ἐλλιποῦς, ἐν ᾧ κιόνες δύο καὶ συστεμάτιον πρὸς μεσημβρίαν τοῦ ἀσκεποῦς ἡλιακοῦ, κιόνες μετὰ καμαρῶν πρὸς μεσημβρίαν τῶν ἐκ πλαγίου τοῦ τρικλινίου καὶ ὡς πρὸς ἀνατολὰς δύο οἰκήματα κτίσματα μετὰ κιόνων ἕξ. πρὸς δύσιν τῶν ἀναγεγραμμένων κτίσματα τοῦ ἀπὸ τῆς μεγάλης ἀστεγοῦς τρικλίνιον, ἐν ᾧ καὶ κινστέρνα καὶ κιόνες δύο τοῦ ὀμφαΐτου, καὶ πρὸς μεσημβρίαν τούτων περιτοίχισμα καὶ πρὸς δύσιν κατώγεον ὑπόθολον, οὗ ἄνωθεν τρικλινάριον, καὶ πρὸς ἄρκτον τούτου κτίσματα ἀποτειχίζοντα τὴν μονὴν τοῦ ἁγίου Δημητρίου μετὰ κιόνων τεσσάρων καὶ συστεματίων δύο. πρὸς ἄρκτον τοῦ αὐτοῦ μεγάλου τρικλιναρίου κτίσματα, ἐν οἷς ἐπίκειται τὸ ὑπερύψηλον σαθρὸν καρυκό-

ξυλον καὶ μέρος τῆς τροπικῆς μετὰ κιόνων ἑπτά. καὶ ἔξωθεν τούτων πρὸς ἄρκτον κτίσματα τοῦ ἡλιακοῦ. πρὸς ἄρκτον τούτων μεσόπατον καὶ κατώγεον τοῦ ὠατοῦ, οὗ πρὸς δύσιν πάτος μετὰ λεπτοκαλάμου. πρὸς δύσιν τούτων καὶ ὡς πρὸς ἄρκτον κτίσματα τῆς καταλελυμένης ἐκκλησίας μετὰ κογχαρίου διὰ μουσείου σὺν τοῖς μετώποις μοναχῶν τεσσάρων . . . βήματος καὶ στήθων δύο, ἑτέρων στήθων δύο τῆς περιφραγῆς μετὰ καγκελοθυρίδων, ὀρθοκαγκέλων δύο, συστεματίου καὶ κιόνων πέντε. πρὸς ἄρκτον τῶν διαγραφέντων περίαυλον καὶ πρὸς ἀνατολὰς τούτου οἴκημα ἀνώγεον σαθρὸν τοῦ ὡρείου καὶ πρὸς ἄρκτον περιφραγὴ διὰ τοίχου καὶ ἀπὸ τούτου οἰκήματα ἀνώγεα τελείως σαθρά, ὧν κάτωθεν ἡ μετὰ συστεματίου μαρμαρίνου δίθυρος πόρτα. καὶ πρὸς δύσιν τούτων τρικλινάριον τοῦ ἑτέρου ὡρείου μετὰ καὶ ἡλιακοῦ πρὸς τὴν αὐλήν, ἐν ᾧ καὶ φρέαρ μετὰ μαρμαρίνου περιστομίδος καὶ γούρνου. πρὸς δύσιν τῆς αὐλῆς κτίσματα ὑπόθολα τῆς ἀποκαυστῆς, τῆς ἐνθήκης τοῦ ζεστοῦ καὶ τοῦ χλίου, οὗ ἄνωθεν καὶ τοῦ εἰς ματρωνίκιον κατώγεον κτίσματα μετὰ κιόνων δύο. πρὸς δύσιν τούτων αὐλὴ ἡ ἄνωθεν τῆς κινστέρνης τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Ἀντιφωνητοῦ, ἧς παρὰ μεσημβρίαν καὶ σύνεγγυς τοῦ τοίχου τῶν οἰκημάτων τῆς μονῆς τοῦ ἁγίου Δημητρίου οἰκήματα χαμαίγεα τὰ μέχρι τῆς πρὸς τὴν δημοσίαν ὁδὸν εἰσόδου ἐννέα, ἔχοντα ἐνοίκιον νομίσματα ὑπέρπυρα θ΄. καὶ πρὸς ἄρκτον ταύτης ἐν μέρει καὶ πρὸς δύσιν οἰκήματα ἐννέα διὰ τρικλιναρίων, ὧν τὸ ἐποίκιον νομίσματα δέκα. πρὸς ἀνατολὰς τῆς περιοχῆς τῶν διαγραφέντων τοῦ οἴκου πρόαυλον, οὗ πρὸς μεσημβρίαν τρικλινάριον μέχρι τοῦ σαθροῦ καὶ ἀκεραμίτου κουβουκλίου καὶ ὡς πρὸς ἀνατολὰς ἑτέρου στέγους καταπεσόντος σὺν τῷ πάτῳ, ἀποφρασσόμενον πρὸς ἀνατολὰς διὰ τοίχου, ἀποτειχίζοντος τὰ οἰκήματα τοῦ Μεγαλοδοξοτάτου, ἄρχοντος τῶν χρυσόχων, καὶ ἐν μέσῳ τούτου διάφραγμα χθαμαλὸν ξηρόκτιστον μετὰ καὶ τοῦ πρὸς δύσιν ἐξωστατήματος τοῦ πρὸς τὴν μονὴν τοῦ Μανδύλου, ἐν ᾧ καὶ φρέαρ καὶ περιστομίδιον τῆς κινστέρνης, ἡ ἐξ αὐτοῦ δίθυρος πόρτα μετὰ συστεματίου μαρμαρίνου ἐν τῇ βάσει τοῦ ἡλιακοῦ τῆς ἐκκλησίας, κιόνες τρεῖς καὶ ἕτεραι δύο ἐν τῷ ἡλιακῷ τοῦ πρὸς μεσημβρίαν τρικλιναρίου. τούτων οὕτως εὑρεθέντων καὶ παραδοθέντων τὸ παρὸν πρακτικὸν τῆς παραδόσεως παρ᾽ ἡμῶν ἐξετέθη, μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις τοῦ ͵ϛψια΄ ἔτους †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως Κωνσταντῖνος σεβαστὸς καὶ πρωτονοτάριος τοῦ δρόμου ὁ Πεδιαδίτης †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως Θεόδωρος σεβαστὸς ὁ Τριβλαττίτης †.

† Ὁ δεσιμώτατος Ἰωάννης ὁ Ἀνζᾶς †.

*Orig. carta bomb. tabull. Taurinensis.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XII. (6714—1206) iunio ind. IX.

*Michaël Ducas, Epiri despota, mercatoribus Ragusaeis privilegia quaedam dat.*

† Ἐπειδὴ εὕρομεν συνήθειαν [τῶν] Ῥ[ω]μ[αίων] ἄδικον ἐνεργουμένην ἐν τῇ ἐφ' ἡμᾶς ἐπικρατείᾳ ἐπὶ [τοῖς] Ῥαουσαίοις πραγματευταῖς, ἀναιρεθεῖσαν δὲ καθόλως διὰ ἀργυροβούλλου προστάγματος τοῦ ἀοιδίμου αὐθέντου πατρός μου ἐκείνου τοῦ Κομνηνοῦ, ἀκολούθως καὶ ἡμεῖς ἐκ ποδῶν ἀποκρούομεν ταῦτα καὶ καθόλως ἐκκηρυκεύομεν δι' ἑτέρου ἡμετέρου ἀργυροβούλλου προστάγματος· διακελευόμεθα γάρ, ἵνα ἐάν τινα Ῥαουσαῖον ἐν οἱαδήτινι χώρᾳ ἡμῶν συμβῇ τελευτῆσαι, μὴ ἐπιβάλλῃ ὅλως χεῖραν ἁρπακτικὴν εἰς τὰ εὑρισκόμενα τούτῳ οἱαδήτινα πράγματα ὁ κατὰ τόπον πρακτορεύων, καθὼς καὶ [δίκαιόν ἐστι] καὶ ἔθος ἀρχαῖον, ἀλλ' ἐκεῖ παραπέμπονται τὰ πράγματα αὐτοῦ, ὅπως ἐκεῖνος διάθηται· εἰ δὲ καὶ ἐκεῖνος ἀδιάθετος τελευτήσῃ, εἰς τοὺς ἐκείνου κληρονόμους καὶ συγγενεῖς, μή τινος τῶν ὑφ' ἡμᾶς τασσομένων καὶ ἐν ὁποιᾳτινι ἐνεργούντων χώρᾳ δυνησομένου ὑπερβῆναι τὸν παρόντα ἡμῶν ὁρισμόν. καὶ γάρ, εἰ μὴ οὕτω φυλάσσεται, γινωσκέτω ὁ καταφρονήσας αὐτῶν, ὡς σφοδρὰν καθ' ἑαυτοῦ ἀνεγερεῖ τὴν ἡμετέραν ὀργήν, καὶ εἰς τὸ πολλαπλάσιον ἀντιστρέψει, εἴ τι ἀπὸ τῶν τεθνεώτων Ῥαουσαίων [τολμή]σ[ῃ ἀποκερ]δ[ῆσαι]. ἔτι δὲ καὶ νῦν συνεφώνησαν μεθ' ἡμῶν Ῥαουσαῖοι ἐγγράφως, ἵνα ἐκδουλ[ευ]ώμεθα εἰς τὴν ἀποκομιδὴν τῶν φαρίων καὶ τῶν ἁρμάτων (αὕτη γὰρ ἔσται καὶ μόνη ἡ δουλ[εία]), ἀνταμειβόμενοι καὶ ἡμεῖς τοιουτοτρόπως αὖθις αὐτοῖς. καὶ θέλομεν, ἵνα περιπατῶσιν ἐν πάσαις ταῖς ἡμετέραις χώραις καὶ πραγματεύωνται ὡς ἡμέτεροι δουλευταὶ πραγματείαν, οἵαν ἄρα καὶ βούλονται, ἀζημίως πάντα καὶ ἀκαμερεύτως. διοριζόμεθα γάρ, ἵνα, εἰ μὲν φαρία καὶ ἅρματα ἀποκομίζουσιν εἰς τὴν χώραν

Β.Σ.Δ.Ε. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μου, καθὼς καὶ συμφωνία ἐγένετο, οὕτως ἀποκερδίζειν ὡς τὸ διαφέρον ἡμῖν ἐκ τῶν τοιούτων κομμέρκιον· εἰ δὲ μὴ τοῦτο δουλεύουσιν, ἵνα παρέχωσι τὸ ἡμέτερον δίκαιον τὸ ἐκ κομμερκίου, ἤγουν εἰς τὰ ἑκατὸν ὑπέρπυρα ὑπέρπυρα τρία, καθὼς εἶχεν τοῦτο σύνηθες, ὡς ἄρα ἀνηνέχθησαν. ἔτι διοριζόμεθα, ἵνα, ἐὰν συμβῇ τζακισθῆναι ξύλον βαστάζον Ῥαουσαίους εἰς τὴν χώραν τὴν ἡμετέραν, καὶ διατηρηθῇ τι ἀπὸ τῶν πραγμάτων ἐκείνων ἐστρατευομένων ἢ καὶ ἀστρατεύτων, μὴ χάνωσι τὸ τοιοῦτον πρᾶγμα αὐτῶν, ἀλλ' ἀπὸ τὴν σήμερον καὶ ἐάν τις ἐμπιστευθῇ τινα τῶν ὑπὸ τὴν ἐγκράτειαν τὴν ἡμετέραν πρᾶγμα αὐτοῦ, νὰ μὴ γυρεύῃ τινὰ ἕτερον, εἰ μὴ ἐκεῖνον, ὅπου καὶ τὸ πρᾶγμα παρέδωκεν. ὁμοίως καὶ Ῥαουσαῖον ἐάν τις Ῥωμαῖος ἐμπιστευθῇ, καὶ μὴ ἔχει ἐξουσίαν τοῦ κατέχειν καὶ ἀμαχεύειν ἕτερον, ἀλλ' ἵν' ἐκεῖνον, εἰς ὃν ἐμπιστεύσατο τὸ πρᾶγμα αὐτοῦ. ταῦτα διατηρηθήσονται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς παρὰ πάντων τῶν τὰς ἡμετέρας χώρας διενεργούντων ἀπαράθραυστά τε καὶ ἀναλλοίωτα, μέχρις ἂν καὶ οἱ Ῥαουσαῖοι φυλάσσωσι τὴν συμφωνηθεῖσαν πρός με ὑπόσχεσιν. διὰ τοῦτο γὰρ ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πρόσταγμα καὶ ἐπεδόθη αὐτοῖς εἰς ἀσφάλειαν μηνὶ Ἰουνίῳ ἰνδικτιῶνος θ' †.

† Μιχαὴλ ὁ Δούκας †.

*Orig. membr. tabull. Vindobonensis. Primi ediderunt cum quinque aliis privilegiis Ragusaeis concessis G. L. F. Tafel et G. M. Thomas in Sitzungsberichte der philos.-histor. Classe der k. Akademie der Wissenschaften 6. 526.*

## XIII. (6740—1232) ind. V.

*Manuel Ducas, despota Epiri, rogat patriarcham Cplitanum Germanum, ut imperatorem Ioannem Ducam Batatzam sibi reconciliet, ordinetque episcopos. Additur patriarchae responsum, qui mittit metropolitam Ancyrae ad partes occidentis, ut patriarchae vices gerat.*

Πιττάκιον τοῦ πανευτυχεστάτου δεσπότου κυροῦ Μανουὴλ τοῦ Δούκα πρὸς τὸν παναγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην κῦρ Γερμανόν.

Παναγιώτατε δέσποτα καὶ τῶν ἐν τῇ οἰκουμένῃ χριστιανῶν ἀπλανέστατε ὁδηγέ· οἱ μὲν τοῦ ἡλίου δρόμοι τοῦ μεγάλου καὶ φαεσ-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

σφόρου, οὗ τὴν θέρμην οὐδεὶς ἰσχύει ἀποκρυβῆναι, νυκτὸς ὅσον παρ' ἡμῖν καὶ τῇ ἡμετέρᾳ αἰσθήσει καὶ καταδύονται καὶ ἀποκρύπτονται, καὶ τὸ φλογερὸν ἐκεῖνο καὶ πυρίμορφον ἅρμα σκότος καὶ ἀμαύρωσις διαδέχεται· σοῦ δὲ τοῖς παρ' ἡμῖν τοῖς χριστιανοῖς ἡλίου τὰ προσηνῆ ἀκτινοβολήματα καὶ τὸ γλύκιον φῶς οὔτε νέφος, ἀνάχυσις δηλονότι κοσμικῶν πραγμάτων, οὔτε νὺξ βαθεῖα, ἐθνῶν ἐπέλευσις καὶ ἐπιφορά, διατέμνειν ὅλως ἰσχύουσι. τὰ γὰρ σὰ διδασκάλια καὶ τὰ πρὸς θεὸν εὐκτήρια καὶ ἱλαστήρια ῥήματα τὰ ὑπὲρ ἡμῶν τῶν ἀπὸ Χριστοῦ καλουμένων πρὸς ἐκεῖνον γινόμενα κατάπαυσιν ἢ περικοπὴν οὐδέποτε οἴδασι· μέσος γὰρ ἡμῖν ἵστασαι τὰ πρὸς θεὸν ἐς ἀεὶ Μωϋσῆς ἄλλος ἢ Σαμουὴλ ἢ καὶ Ἱερεμίας, ὕστερον ἡμῖν τὸ θεῖον ἐκμειλισσόμενος. καὶ καὶ πιστεύομεν, ὡς εἰ μὴ τοῦτο, πάλαι ἂν ἦμεν ὡς παιδία ἀφανισμοῦ καὶ ὡς ἐν ἀμπελῶνι σκηνή. τῶν τοιούτων τοίνυν ἡλιακῶν ζωογονημάτων τῆς σῆς ἁγιότητος τελεσφόρημα καὶ τὸ ῥηθησόμενον ἔργον καθίσταται· φθάνει γὰρ ἡ σὴ ἁγιότης καὶ νουθεσίαις ἡμᾶς πατρικαῖς προκαταλαμβάνειν καὶ καθοδηγεῖν πρὸς τὸν τῆς εἰρήνης σταθμὸν καὶ ὁλκαῖς βιαίαις ἡμᾶς κατατυραννεῖν καὶ πρὸς τὸν τῆς ἑνώσεως δεσμὸν συνάγειν ταῖς παραινέσεσι· πειθόμεθα τοίνυν, καὶ πολλὰ τῶν ἀνηκόντων ἡμῖν δικαίων καὶ ἃ παρὰ πολλοῖς εἰσὶν ἀπαραίτητα, ὅτι μὴ πᾶσα ἀνάγκη, κατανοτιζόμεθα καὶ τοῦ μηδενὸς ὡς ἄξια λογιζόμεθα. διὰ ταῦτ' ἄρα καὶ τὴν φιλίαν ἀνεζητήσαμεν τοῦ ὑψηλοτάτου βασιλέως Ῥωμαίων καὶ γαυροῦ μου κυροῦ Ἰωάννου τοῦ Δοῦκα, διὰ ταῦτα καὶ πολλὰ τῶν εἰς τὴν ἡμετέραν δόξαν συντεινόντων καὶ τῇ ἡμετέρᾳ μεγαλειότητι ἁρμόδιά τε καὶ προσφυῆ ταπεινωθέντες ὑπὸ πόδας ἐρρίψαμεν, ἔνθεν τοι καὶ γέγονεν ἔργον ἐν ταῖς σαῖς ἡμέραις, αἷς ἐπεῖδε κύριος, ἀφελεῖν τὸ τῆς διαστάσεως ὄνειδος ἐξ ἡμῶν τῶν Ῥωμαίων· ἔργον τοίνυν εἴργασται, ὃ πολλοὶ τῶν πρὸ τῆς ἁγιότητός σου ἤδη ἐπεθύμησαν. θάρσει τοίνυν, πατέρων ἀκρότης, καὶ τὸν θεὸν μεγάλυνέ τε καὶ καταγέραιρε· ἐν ἀκοαῖς γὰρ ἐλάλησας τετρυπημέναις, εἰς ἐγκέφαλον, καὶ εἰς γῆν ὕετισας οὐχὶ πετρώδη καὶ ἄτεγκτον, καὶ ἦρας ὄνειδος ἐκ τῶν σῶν υἱῶν, καὶ τὴν διέχειαν ἡμῶν συνούλωσάς τε καὶ καθηγείωσας. ἀπὸ τοῦ νῦν οὖν οὐδεμία τις ἀφορμὴ ἐξ ἡμῶν· λείπεται δέ, ἵνα καὶ τὸν βασιλέα κὺρ Ἰωάννην τὸν Δοῦκαν πρὸς τὴν ὁμοιοπραξίαν εἰσάξεις, καὶ θήσεις μεταξὺ τὴν εἰρήνην βαθεῖαν καὶ ἀδιάλυτον. καὶ τὰ μὲν

παρ' ἡμῖν τοῖς τὰ κοσμικὰ ἡνιοστροφοῦσι τοιαῦτα καὶ ἐς τοσοῦτον, σὺ δὲ τὸ οἰκουμενικὸν λυχναύγημα τὸ ζωογόνον φάος τῶν ἡμετέρων ψυχῶν τί μέλλεις; τί ἀναδύῃ; μέχρι τίνος οὐκ ἐν ἰσομέτρῳ καταυγάζεις καὶ τὰ ἡμέτερα, ἀλλὰ τοῖς ἀνωτέρω προσέχων ἐκεῖσε τείνεις τὸν δίφρον, ἡμᾶς δὲ ἀνηλίους παρατρέχειν βεβούλευσαι; μέθες τὸ λίαν, καὶ ἐπάκουσον ἡμῶν δεομένων σου, δέησιν οὐκ ἀνευλαβῆ, οὐδὲ πόρρω τοῦ προσήκοντος πίπτουσαν· πληροφορήθητι, ἀδύνατόν ἐστιν ἀναβαίνειν ἀπὸ τῶν ἐνταῦθα τινὰς εἰς τὴν ἀνατολικὴν αὐτόθι γῆν, ἵνα προβάλλωνται ἀρχιερεῖς ἐν ταῖς ἐνταῦθα δυτικαῖς ἐκκλησίαις. οὐδὲν γάρ ἐστιν ἄλλο τούτοις τὸ κατατολμῆσαι τῶν ἐν τῷ μεταξὺ παροδίων κινδύνων ἢ τὸ ἐς Ἀχέροντα καταπλεῦσαι· μάρτυς τῶν λεγομένων καὶ ὁ ἀναπλεύσας αὐτόθι Χωνιάτης διὰ τὴν μητρόπολιν τῆς Ναυπάκτου· ὅσαις γὰρ καὶ ὁποίαις ταῖς δυσκληρίαις ἐνέκορσε καὶ ἀναπλέων καὶ καταπλέων, οὐδὲ τῇ ἁγιότητί σου ἠγνώηται· εἴ τι οὖν μέλει σοι τῶν ἐνταῦθα χριστιανικῶν ψυχῶν (μέλει σοι δὲ πάντως ὡς μεγάλῳ καὶ πρωτοποιμένι καὶ τοῦ ἀποστολικοῦ θρόνου διαδόχῳ), οἰκονόμος γενοῦ πρὸς τὴν ἁρμοδιότητα τοῦ ἀνωμάλου καιροῦ, καὶ ἢ ἀπὸ τῶν ἐνταῦθα ἀρχιερέων δυτικῶν ἐπίτρεψον συνοδικῶς τῷ εἰς τοιαύτην διακονίαν ἱκανῷ λογισθησομένῳ, καὶ ἐγχείρησον αὐτῷ τὰς ψήφους καὶ προβολὰς τῶν ἀναδεξομένων τὰς χηρευούσας ἐκκλησίας ἐνταῦθα, ἢ εἰ μὴ τοῦτο δοκεῖ, ἐκλεξάσθω ἡ σὴ ἁγιότης ἕνα τῶν αὐτόθι ἀρχιερέων, καὶ ἐλθέτω διακονήσων ἐνταῦθα τῷ ἀναγκαίῳ ὑπηρετήματι τοῦ Χριστοῦ. τί ξενοπρεπὲς λαλοῦμεν; τί παρὰ τὸν εἰκότα λόγον παρακαλοῦμεν; εἰ μὲν ἐν τῇ ἀπ' ἀρχῆς καταστάσει τὰ Ῥωμαίων ἐτύγχανε πράγματα, ἐὰν ἡ βασιλεία ἐν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ ἀνέλαμπεν, ἐὰν ὁ πατριάρχης ἐκεῖ ἐκαθέζετο ἐπιδίφριος, ἐὰν οἱ ἐν μέσῳ κίνδυνοι καὶ τῶν ὀλεθρίων παγίδες οὐχ ὑπεστρώννυντο τοῖς δι' ἀρχιερατείαν ἀναπλεύσουσι, λοιμὸς ἂν ἐκεῖνος ἀνὴρ ἐλογίζετο καὶ ἀλιτήριος καὶ τοῖς ἱεροῖς κανόσι προφανῶς ἀντιπίπτων ὁ τὴν κρατοῦσαν ἀκρίβειαν παραθραῦσαι πειρώμενος· νῦν δὲ τί γενήσεται; ἆρα διὰ τὸ μέρος ἀπολεῖται τὸ πᾶν; μὴ σύ γε τοῦτο κρίνοις, ὦ διακριτικωτάτη ψυχή. παρακαλοῦμεν οὖν πάλιν, ἵνα γένηται προμήθεια τοῦ ἐνταῦθα χριστιανικοῦ λαοῦ. ἀρκοῦσι τὰ προγεγονότα, ἵνα τί καὶ εἰς τὸ μετέπειτα κατορχήσεται καὶ ἐπεμποδίσει ὁ πονηρός; ἀποτρέποις τοῦτο, θεός, ἀποτρέποις, ὃς εἰρήνην ἐκήρυξας τοῖς ἐγγὺς

καὶ τοῖς πόρρω, ὃς μέχρι καὶ δούλου μορφῆς ἐκένωσας ἑαυτόν, ἵνα ὑπὸ μίαν μάνδραν τὰς διασπορὰς τῶν σῶν ἐπισυναγάγῃς προβάτων. ὁ θεὸς χαρίσαιτο ἡμῖν τοῖς χριστιανοῖς τὴν σὴν ἁγιότητα ἐς μακροχρόνιον, μεμνημένην καὶ ἡμῶν ἐν ταῖς πρὸς θεὸν ἐντυχίαις αὐτῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ἀντίγραμμα τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γερμανοῦ πρὸς τὸν δεσπότην κῦρ Μανουὴλ τὸν Δοῦκαν †.

Ἡττήμεθα, νὴ τὰς σὰς ἀριστείας, ἡττήμεθα, πανευτυχέστατε δέσποτα, ἧτταν ἀνέλπιστον καὶ οὐδ' ἂν ἡμῶν εἰς νοῦν ἀναβῆναί ποτε πρὶν τοῦ γενέσθαι πεπιστευμένην· ἡμεῖς μὲν γὰρ πολλοὺς ἔχοντες τοὺς συναιρομένους καὶ ὅλαις προσβοηθοῦντας χερσὶν οὕτω κραταιαῖς, ὡς ἅπαν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως Χριστοῦ καθαιρούσαις ἐσχάτως καὶ εἰς τὸ μὴ ὂν ἀναλυούσαις· τίνας τούτους; τοὺς τὰς οἰκουμενικὰς συνόδους ἀπαρτίσαντας πατέρας θείους καὶ θεορρήμονας πατέρας, εἶτα καὶ νόμους τῶν φιλευσεβῶν βασιλέων, οἷς τὰ τοῦ πατριαρχείου πρεσβεῖα εἰς ἀκράδαντον κατωχύρωνται καὶ ἕτερα δικαιοδοτήματα κραταιά, ἃ καὶ χρόνος καὶ νόμος ἐκύρωσάν τε καὶ ἐβεβαίωσαν. τοιαῦτα καὶ τοσαῦτα ἔχοντες καὶ τηλικούτοις συγκροτούμενοι τοῖς βοηθήμασιν ἐπειρώμεθα ἐπισπάσασθαι τὰ σὰ δυτικὰ οἱ ἀνατολικοὶ πρὸς ἑαυτούς, καὶ ταῖς οἰκείαις χερσὶ τοὺς νυμφευομένους τὰς ἐκκλησίας Χριστοῦ ὑποκλινεῖς ποιεῖσθαι διενιστάμεθα, τὰ δ' ἐκ τῶν κατὰ θάλατταν πειρατῶν μορμολύκεια καὶ τὰ κατὰ χέρσον ἐμποδοστατήματα προφάσεις ἀκαίρους ἡγήμεθα καί, τὸ ἀληθέστερον φάναι, σχισμάτων προμελετήματα· ζητεῖ γάρ, φησὶν ὁ παροιμιαστής, προφάσεις ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων· πότε καὶ γὰρ πειραταὶ θαλάσσης νῶτα μαστίζειν ἀδίκως ἀπέσχοντο; πότε τὸ πρόσωπον ταύτης ἀνερυθρίαστον τοῖς τῶν πλωτήρων παρέλειπον αἵμασιν; οὐδ' ἐπὶ τῶν μακαρίων ἐκείνων καὶ χρυσῶν ἡμερῶν τὸ θαλαττικὸν λῃστήριον καθησύχασε, χρυσομανὲς ὂν καὶ κακοκερδές, ἔδυον δὲ τότε μάλιστα πλεῖστοι ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ, ἦσαν δή, χρυσίου βαροταλάντου πρὸς ἐλευθερίαν ἐπεκουφίζοντο, καὶ ὅμως τῆς προθυμίας οὐκ ἀνεκόπτοντο, οὐδὲ πρὸς τὴν διαπλώσιν ἰλιγγίων οἱ τοὺς ἐκκλη-

Ε.Σ.Λ.Σ.Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

σιαστικοὺς οἴακας τηνικάδε ἐγχειριζόμενοι· συγκεκλήρωται γὰρ ἀεὶ τῷ πολυπαθεῖ τούτῳ βίῳ καὶ πολυωδύνῳ μετὰ τῶν ἡδυνόντων καὶ τὰ ἐπώδυνα· πλὴν αἱ ἀποτυχίαι οὐδέποτε τὰς ἀγαθὰς ἐλπίδας τῷ βυθῷ τῆς λήθης παραδεδώκασιν, οὐδ' ἐξεκρούσαντο τῶν ἐγχειρήσεων τοὺς ἀνθρώπους. τὸν νέον μοι Ναυπάκτου προβάλλεταί σου ἡ βασιλεία καὶ τὴν τούτου περίστασιν καὶ ὡς φόβητρον τοῦτον ἵστασθαι τοῖς πλέουσιν. ἀλλ' οὐ καινόν, οὐδ' ἀσύνηθες τοῦτο τοῖς τῶν Ναυπακτίων ἐκκλησίαις ποιμέσιν· ἐμφέρεταί μοι καὶ ἔτι τῷ μνήμονι τῆς ψυχῆς ἕτερός τις Ναυπάκτου (καὶ Τζίρος ἦν ἐκείνῳ τῷ ἀνδρὶ τὸ ἐπώνυμον), καὶ γέγονε τοῖς πειραταῖς ὁ γέρων ἀγρεύσιμος, καὶ πεντακοσίων ἀπεδόθη χρυσίνων, εἰ μὴ ἐπιλέλησμαι τῆς τοῦ ἀριθμοῦ ἀκριβείας. βαβαὶ τῆς πολλῆς ἐκείνου τοῦ Τζίρου, δι' ἣν τοσοῦτον τετίμηται, καὶ τὴν πειρατικὴν ἐκόρεσεν ἀπληστίαν, ὅτε καὶ ἡ κατ' ἐκεῖνον τραγῳδία εἰς κωμῳδίαν τοῖς χαριεντιζομένοις ἀπετελεύτησε καὶ εἰς ἀστειότατον αἴνιγμα. ἀλλ' ἐκεῖνος μὲν χερσὶ λῃστρικαῖς σεσαγήνευται, ὁ δὲ μετ' αὐτὸν οὐκ ἔτι, ἀλλ' εὔθετα πάντα ἐκείνῳ καὶ ὁμαλά, καὶ βίον εὐδαίμονα καὶ πολυχρόνιον ἐξανύσας μετὰ λιπαροῦ γήρως ἔτι τῇ τοῦ βίου θαλάττῃ ἐμπλέειν ἐπιφημίζεται καὶ σοφῶς ὢν καὶ φρένα περιβεβλημένος βαθεῖάν τε καὶ ἔλλογον, καὶ αὐτῶν τῶν ἐν τῷ ἀερίῳ ἐλλιμνασμῷ νηχομένων κατασοφίζεται πειρατῶν, καὶ τὸ μέλαν τῶν μοναχικῶν ἀμφιαμάτων καθυποδύεται, ὥσπερ τινὰ νύκτα βαθεῖαν εἰς φῶς ἀνέσπερον παραπέμπουσαν, τὰ πάναγρα τῶν ἀερίων πνευμάτων διαδρᾶναι πραγματευόμενος. τί δέ, τρισαριστεῦ, πανευτυχέστατε δέσποτα, μόνοις τοῖς δυσμόθεν εἰς ἕω διαπεραιουμένοις τὸ κατὰ θάλατταν δέος ἐπισεισθήσεται, ἀλλ' οὐχὶ καὶ τοῖς τὴν ἐναντίαν διατέμνουσι καὶ τῶν ἀνατολικῶν ἀπαίρουσι πρὸς τὰ δυσμικά; καὶ ὑπεκστήσονται τούτοις τῆς φίλης κελεύθου καὶ τῆς ἐνύγρου διατριβῆς; εἰ οὕτω φοβεροὶ ἐσμὲν οἱ ἀνατολικοὶ τοῖς θαλαττοβίοις λῃσταῖς, ὑπέρευγε τῆς εὐανδρίας καὶ γενναιότητος· εἰ δὲ τοῦτο μὲν οὐκ ἔστιν, ἀλλὰ τὸ κακὸν κοινὸν καὶ τῆς Ἀσίας καὶ Εὐρώπης μέσον ἱστάμενον, οἷόν τις Σκύλλα καὶ Χάρυβδις, τοῖς ἐντεῦθεν αὐτόθι καὶ αὐτόθεν ἐνθάδε διαπλωϊζομένοις ἐπιβουλεῦον ἐπίσης, χρῆναι φημὶ καὶ ἀμφοτέρους ἀποδιδράσκειν τὸ βλαπτικὸν ἢ περιφρονεῖν ὡς τὸ ἐξ ἀνάγκης οὐκ ἔχον. τοσούτοις τοίνυν καὶ τηλικούτοις ἑδραζόμενοι τοῖς ἐρείσμασιν, ἐπεὶ τὸν σὸν ἐγνώκαμεν πόθον, ὃν πρὸς

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΩΝ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΣΠΟΥΔΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. ΤΗΣ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὴν ἡμῶν μετριότητα τρέφεις διὰ τὸν κύριον, καὶ ὅτι ἐκ φιλαγάθου ταῦτα γράφεις ψυχῆς, καὶ σοῦ τὰ χείλη δολιότητος βάμμασιν ἀχρωμάτιστα, διακόψαντες ὡς ἀράχνης νήματα τὰ μεγάλα στηρίγματα ὅλους ἑαυτοὺς ἐπιδεδώκαμεν τῷ τῆς σῆς βασιλείας θελήματι, καὶ ἤθελον, πῶς ἂν αὐτὸς φαίης, καὶ ἦν μοι πολυευκτότατον, εἰ μετὰ τοῦ ἀποστολικοῦ ἐπενδύτου τῶν τῆς θαλάσσης κατωρχούμην κυμάτων, κἀπὶ τῆς ὑγρᾶς πεζεύων ἀκινδύνως τὴν πρὸς τὴν βασιλείαν σου φέρουσαν ἐνηχόμην, ὃ καὶ πεπίστευκα, ὡς μετ' ὀλίγον, εἰ καὶ μὴ οὕτως θαυματουργικῶς, ἀλλ' ἄλλως καὶ, ὡς εἰώθαμεν τὰς ὁδοὺς ποιεῖσθαι, γενήσεται, καὶ ὄψεως καὶ γλυκείας φωνῆς τῆς σῆς (καὶ ἐπισφραγίζοι τὸν λόγον ἄνωθεν ὁ θεός) οὐκ εἰς μακρὰν καταπολαυσόμενος ἥξω. τέως δ' οὖν πρὸς τὸ παρὸν τὸν παρόντα ἱερώτατον μητροπολίτην Ἀγκύρας, ἐν κυρίῳ ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητης, συνοδικῇ σκέψει καὶ συμβουλίᾳ ἐξαπέστειλα τὸν τόπον τῆς ἡμῶν μετριότητος ὀφείλοντα ἐκπληροῦν ἐν πᾶσι πρακτέοις τῷ θρόνῳ τῷ πατριαρχικῷ προσαρμόζουσιν, ἄνδρα θεοφιλῆ, πραότητος ἀπεικόνισμα, ἄκακον, εὐθῆ, ἁπλοῦν, ἄβατον τῆς πολυσχεδοῦς κακίας τοῖς ἴχνεσιν, τὸ ὅλον εἰπεῖν, ἐπισκοπῆς θείας διηνεκῶς ἀξιούμενον. ἐπὶ τίνα γάρ, φησὶν, ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; ὥστε εἴ τις που τῶν κακοτρόπων καὶ περιπονήρων ἀνθρώπων τῆς ἁπλότητος τοῦ ἤθους τοῦ ἀνδρὸς ἐπιβάλοιτο κατορχήσασθαι (εὐεπιβούλευτον γὰρ τὸ ἄπλαστόν τε καὶ ἄδολον) μὴ συγχωρηθῆναι παρὰ τοῦ δρασσομένου τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν καὶ ἐπιβλέποντος ἄνωθεν πρὸς τὸν ἁπλοῦν εὐμενέστερον· ἕξει γὰρ, οἶδα, καὶ τὴν βασιλείαν σου ὡς λαμπάδα πολύφωτον καὶ διαέριον προηγουμένην ἐν τοῖς πρακτέοις αὐτοῦ καὶ τὰ τισὶ βυσσοδομευόμενα ὑπεκφαίνουσαν καὶ τὰ σκότεια διαφωτίζουσαν καὶ κατὰ τῆς τῶν ἁρπάγων ὀξυχειρίας πὺξ ἐναλλομένην καὶ ἐμβριθῶς, ἵνα μὴ καθαρπάζωσι τὰ μὴ διαφέροντα. ἔχῃς ἡμᾶς, πανευτυχέστατε, τῆς σῆς ἡττηθέντας βουλήσεως καὶ τοῦ σκέμματος καὶ ἀμάχως τῶν καταθυμίων ὑπεξισταμένους τῇ βασιλείᾳ σου, πλὴν τῆς βραδυτῆτος καὶ τῆς μελλήσεως. ὥστε δεδοικέναι ἡμᾶς περὶ ταύτῃ τῇ χάριτι, μὴ καὶ ὡς ἄχαρις ὀβελισθείη παρὰ τῆς βασιλείας σου διὰ τὴν ἀναβολὴν καὶ ὑπέρθεσιν. φιλοῦμεν γὰρ πως σικχάζεσθαι πρὸς τὰς ὑπεσχημένας μὲν ταχέως δωρεάς, βραδέως δὲ ἀποδιδομένας, ἀλλ' οὐκ ἐμὸν τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΡΟΥ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

ἔγκλημα, πίστευσον. ἀλλὰ τίνος; ἀφίημι τοῦτο εἰς τὴν τῆς βασιλείας σου διάκρισιν. ἐκείνῳ γὰρ ἡ αἰτία πάντως ἐπικλασθείη τῷ φοβερὰν τῆς θαλάττης διάβασιν διαφημίσαντι καὶ ἀνθρωπομόρφων πλήθουσαν τῶν θηρίων καὶ εἰ ὁ πρὸς ἀνάγκης ἔχων δυσμόθεν πρὸς ἡμᾶς ἀφικνεῖσθαι τῷ ἐπισειομένῳ φόβῳ ἀναχαιτιζόμενος, ἀναβαλλόμενος δὲ τὴν διάβασιν ποίας οὐκ ἔσται συγγνώμης ἄξιος; τοῦτο τῆς ἀναβολῆς τοῦ ἀπεσταλμένου τὸ αἴτιον. καὶ δὴ τὸν ἄνδρα ἱλαρῶς ὑποδεχθῆναι καὶ θεραπευθῆναι πρὸς δύναμιν καὶ τὴν ἀπὸ τῆς ἅλμης ναυτικῆς γλυκείαις ἀποκλύσασθαι ταῖς προσρήσεσι καὶ ὡς τὸ τῆς ἡμῶν μετριότητος ὑποδυόμενον πρόσωπον κατασπάσασθαι καὶ τῆς παρ' αὐτοῦ εὐλογίας ἐπαπολαῦσαι. ἰδοὺ γὰρ ἡ μετριότης ἡμῶν διὰ μέσου τοῦ ἱερωτάτου τοῦδε ἀνδρὸς ὑπερεύχεταί σου τῇ βασιλείᾳ μακρόβιον ζωὴν, νίκην κατὰ τῶν ἐχθρῶν, πλατυσμὸν χωρῶν, μακρυσμὸν ἐκ κακοσυμβούλων ἀνδρῶν ὡς ἐξ ἰοβόλων τινῶν ὄφεων· καὶ γὰρ ἐκείνου ὄφεως εἰσὶ γεννήματα τοῦ πρὶν τὸν προπάτορα ἐλπίδι θεώσεως ὑπερύψηλον ἐλαφρίσαντος, εἶτα δὴ καὶ ταράξαντος, ἕως καὶ εἰς τάρταρον ἁπλῶς εἰπεῖν τῶν συμφερόντων πάντων περάτωσιν θεοκλυτοῦμεν καὶ τῆς ἐπουρανίου βασιλείας κληρονομίαν.

## Τὰ ἐντάλματα τῆς ἐξαρχίας τοῦ Ἀγκύρας.

Μηνὶ αὐγούστῳ ἡμέρᾳ ς' ἰνδ. ε', συνοδικῶς προκαθημένου τοῦ παναγιωτάτου δεσπότου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου, κυροῦ Γερμανοῦ, ἐν τῷ κατὰ τὴν ἁγιωτάτην μητρόπολιν Νικαίας θολωτῷ ὠάτῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων τοῦ Ἀγκύρας, τῶν Γαλατῶν ἐπαρχίας, Χριστοφόρου, τοῦ Νικομηδίας καὶ ἐξάρχου πάσης Βιθυνίας Ἰωάννου, τοῦ Ἀμάστριδος Νικολάου, τοῦ Σερρῶν Βασιλείου, τοῦ Λοπαδίου καὶ Μελιτοπόλεως Ἀγαπητοῦ, Λέοντος τοῦ Προύσης, τοῦ Ποντοηρακλείας Νικηφόρου, τοῦ Πομπηϊουπόλεως Λέοντος, τοῦ Προικοννησίου Βασιλείου, τοῦ Διδυμοτοίχου Γεωργίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων κτέ.

*Sequitur formula* ἐντάλματος ἐξαρχίας, *cuius plura exempla invenies in actis patriarchatus Constantinopolitani.*

*E cod. graeco theol. biblioth. palat. Vindobonensis 276.*



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΨΥΧΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΤΑΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006